67 αὐτόν, ὅπου ποτὲ δόξειεν. ἤδη δὲ περὶ τὰ ἑπτακαίδεκα ἔτη
προσελθεῖν αὐτῷ Ἀρχέλαον τὸν Ἀναξαγόρου μαθητήν,
φάσκοντα ἐραστὴν εἶναι· τὸν δὲ Σωκράτην οὐκ ἀπώσασθαι
τὴν ἔντευξίν τε καὶ ὁμιλίαν τὴν πρὸς τὸν Ἀρχέλαον, ἀλλὰ
γενέσθαι παρ᾽ αὐτῷ ἔτη συχνά· καὶ οὕτως ὑπὸ τοῦ Ἀρχε-
68 λάου προτραπῆναι ἐπὶ τὰ φιλόσοφα.“ εἶτα μετ᾽ ὀλίγα· „ἦν
δὲ καὶ τῶν ἐπιτιμωμένων καὶ τάδε Σωκράτει, ὅτι εἰς τοὺς
ὄχλους εἰσωθεῖτο καὶ τὰς διατριβὰς ἐποιεῖτο πρὸς ταῖς τρα-
πέζαις καὶ πρὸς τοῖς Ἑρμαῖς.“ ταῦτα περὶ Σωκράτους ὁ
Πορφύριος ἔφη καὶ ἄλλα ἄττα, ἃ ἑκὼν εἶναι παρέλιπον·
ἐξ ὧν καταμαθεῖν ἔξεστιν, ὡς λόγοις ἐπῄνουν ἐκεῖνοι τὴν
ἀρετήν, ἠσπάζοντο δὲ τὴν ἡδονὴν καὶ τοῖς πάθεσι δουλεύειν
69 ἠνείχοντο. εἰ γὰρ δὴ κατὰ τὸν Πορφύριον καὶ περὶ τὰ
ἀφροδίσια ὁρμητικῶς εἶχε καὶ δύο γυναιξὶ κατὰ ταὐτὸν
ὁμιλῶν οὐκ ἐλάμβανε κόρον, ἀλλὰ καὶ ταῖς κοιναῖς ἀνέδην
ἐχρῆτο καὶ τῶν ἐν ταῖς παλαίστραις γυμνουμένων νέων κατὰ
τὸν Πλάτωνα τὴν θέαν ἠσπάζετο καὶ δυσόργητος ἦν καὶ
μόγις ᾄττοντα κατέχειν ἠδύνατο τὸν θυμὸν καὶ λοίδορον
εἶχε τὴν γλῶτταν καὶ ἀχαλίνωτον, ποῖον ἄρα εἶδος φιλοσο-
70 φίας μετῄει; ὅτι δὲ καὶ Πλάτωνος κατηγοροῦσι τῶν πα-
λαιῶν τινες ὡς πολλὰ πεποιηκότος φιλοσοφίας ἀνάξια,
ἀκούσατε Ξενοφῶντος λέγοντος ἐν τῇ πρὸς Αἰσχίνην ἐπι-
στολῇ· „Αἰγύπτου γὰρ ἠράσθησαν καὶ τῆς Πυθαγόρου
τερατώδους σοφίας· ὧν τὸ περιττὸν καὶ μὴ μόνιμον ἐπὶ
Σωκράτει διήλεγχεν ἔρως τυραννίδος, καὶ ἀντὶ διαίτης λιτῆς
71 Σικελιῶτις γαστρὸς τράπεζα.“ αἰνίττεται δὲ διὰ τούτων